1.3.

42 Ὁ αὐτὸς βασιλεὺς Ἐπιφανίῳ ἀρχιεπι-
σκόπῳ Κωνσταντινουπόλεως καὶ πατριάρχῃ. Πᾶσαν
ἀεὶ ποιούμενοι πρόνοιαν τῶν ἁγιωτάτων ἐκκλησιῶν,
δι᾽ ὧν καὶ τὴν ἡμετέραν βασιλείαν κρατύνεσθαι καὶ
τὰ κοινὰ πράγματα τῇ τοῦ φιλανθρώπου θεοῦ χάριτι
τειχίζεσθαι πεπιστεύκαμεν, ἀλλὰ μὴν καὶ τὰς ἡμῶν
τε καὶ τῶν ἄλλων ἁπάντων ψυχὰς σπουδάζοντες πε-
ρισώζεσθαι καὶ τούτου χάριν ἐπιμελούμενοι διὰ παν-
τὸς τοῦ μήτε τὰ συμφέροντα ταῖς ἁγιωτάταις ἐκκλη-
σίαις καθ᾽ οἱανοῦν πόλιν οὔσαις τρόπῳ τινὶ κατολι-
γωρεῖσθαι μήτε τὰς ἐν αὐταῖς θείας λειτουργίας ἐκ
τῆς τῶν θεοφιλεστάτων ἱερέων ἀπουσίας ἐμποδίζε-
σθαι ἢ μὴ προσηκόντως ἐπιμελεῖσθαι, ἀλλὰ μηδὲ τὰ
τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐκδαπανᾶσθαι πράγματα
διά τε τῶν ἐν ταῖς ὁδοῖς καὶ διὰ τῶν ἐνταῦθα περί
τε τοὺς ἀνιόντας ἱερέας καὶ τοὺς σὺν αὐτοῖς ὄντας
κληρικοὺς ἢ οἰκέτας δαπανωμένων, ὥστε πολλάκις καὶ
δανείων γίνεσθαι χρείαν καὶ τὸ ἐντεῦθεν ἔρχεσθαι
βάρος ἐπὶ τὰς αὐτὰς ἁγιωτάτας ἐκκλησίας, πρὸς τὸ
μηδὲ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων δεόντως
προϊέναι διοίκησιν παρὰ τὸν τῆς ἀποδημίας τῶν θεο-
φιλεστάτων ἱερέων καιρόν, ταύταις πρὸς τὴν σὴν μα-
καριότητα ταῖς θείαις συλλαβαῖς χρήσασθαι δεῖν ᾠή-
1 θημεν. Δι᾽ ὧν αὐτῇ παρακελευόμεθα καταστῆσαι
πᾶσι φανερὸν τοῖς κατὰ τὰς μητροπόλεις ἑκάστης
ἐπαρχίας ὑπ᾽ αὐτῇ τεταγμένοις ὁσιωτάτοις ἱερεῦσιν,
ὡς οὐ προσήκει τινὰ τούτων ἢ τῶν ἐν ταῖς ἄλλαις
τῆς ἐπαρχίας πόλεσι ταῖς ὑπὸ τῷ μητροπολίτῃ τεταγ-
μέναις θεοφιλεστάτων ἐπισκόπων κατ᾽ οἰκείαν γνώ-
μην δίχα θείας ἡμῶν ἰδικῆς προστάξεως ἀπολιμπά-
νειν μὲν τὴν παρ᾽ αὐτοῦ διοικουμένην ἁγιωτάτην
ἐκκλησίαν, εἰς δὲ τὴν εὐδαίμονα ταύτην ἀνιέναι πόλιν
οἱουδήποτε πράγματος ἀνακύπτοντος, ἀλλὰ πέμπειν
ἐνταῦθα ἕνα ἢ δύο τοῦ ὑπ᾽ αὐτὸν εὐαγοῦς κλήρου
καὶ ποιεῖν φανερὰ τῇ ἡμετέρᾳ εὐσεβείᾳ, περὶ ὧν
δέονται, ἢ δι᾽ αὐτῶν ἐξ εὐθείας προσιόντων ἡμῖν ἢ
διὰ μέσης τῆς σῆς μακαριότητος, οὕτω τε τυγχάνειν
δικαίας τε καὶ συντόμου τῆς ἡμετέρας βοηθείας.
2 Εἰ γάρ τι τῶν εἰς ἡμᾶς φερομένων τοιοῦτον ἡμῖν
εἶναι φανείη, ὡς δεῖσθαι τῆς αὐτῶν τῶν θεοφιλεστά-
των ἱερέων παρουσίας, τηνικαῦτα παραγενέσθαι προσ-
τάξομεν αὐτοίς. δίχα δὲ τοιαύτης θείας ἡμῶν κελεύ-
σεως οὐδένα παραγίνεσθαι συγχωροῦμεν· εἰδότος τοῦ
ταῦτα ὑπερβαίνοντος καὶ τὴν ὀρθῶς καὶ ὁσίως εἰσε-
νεχθεῖσαν παρ᾽ ἡμῶν ἐπὶ τῇ τῶν ἁγιωτάτων ἐκκλη-
σιῶν τιμῇ παραφυλακὴν παρεξιόντος, ὡς οὐ μικρᾶς
ἀγανακτήσεως πειραθήσεται, ἀλλὰ καὶ ὑπὸ ἀφορισμὸν
γενήσεται, εἰ μὲν μητροπολίτης εἴη, παρὰ τῆς σῆς μα-
καριότητος, εἰ δὲ τῶν ὑπὸ τὸν μητροπολίτην πόλεων,
δι᾽ αὐτοῦ τοῦ μητροπολίτου. χρηματικὴν γὰρ ποινὴν
ὁρίσαι κατὰ τῶν ὑπερβαινόντων τὴν θείαν ἡμῶν
ταύτην διατύπωσιν οὐκ ἀναγκαῖον ᾠήθημεν, ὡς ἂν
μὴ εἰς τὰς ἁγιωτάτας ἐκκλησίας ἡ ἐντεῦθεν περισταίη
βλάβη, ὧν τὰ πράγματα πάσης μειώσεως ἐλεύθερα

3 μένειν σπουδάζομεν. Ταῦτα τοίνυν εἰς τὴν ἑκά-
στου γνῶσιν τῶν ὑπ᾽ αὐτῇ τεταγμένων θεοφιλεστά-
των μητροπολιτῶν ἐπισκόπων ἀγαγεῖν ἡ σὴ ὁσιότης
σπουδασάτω, καὶ τὰς παρ᾽ ἑκάστου πεμπομένας ἀπο-
κρίσεις διά τε τῶν μητροπολιτῶν καὶ δι᾽ αὐτῶν
τῶν λοιπῶν τῆς ἐπαρχίας πόλεων θεοφιλεστάτων
ἐπισκόπων, ἃ περὶ τούτων μεμαθήκασιν, εἰς τὴν ἡμε-
τέραν εὐσέβειαν ἀνενεγκεῖν. *D. k. Mart. Constanti-
nopoli dn. Iustiniano pp. A. II cons.* [*a.* 528]

id est:

*Idem A. Epiphanio archiepiscopo Constantinopolitano et patriarchae.*

Quoniam omnem semper curam gerimus sacrosanctarum ecclesiarum, quibus et nostrum imperium sustineri et communes res clementissimi dei gratia muniri confisi sumus, neque minus saluti tam nostrae quam ceterorum omnium animarum consulimus ideoque omnimodo solliciti sumus, ne ea quae sacrosanctis ecclesiis in quavis civitate constitutis prosunt quoquo modo diminuantur neve sacri ritus per absentiam religiosissimorum sacerdotum impediantur vel minus decenter exsequantur, neve etiam sacrosanctarum ecclesiarum res consumantur per sumptus, qui in itinera et per sacerdotes huc proficiscentes clericosque vel famulos eorum comites erogantur, ut saepenumero aeris alieni contrahendi necessitas ingeratur, cuius onus ipsis sacrosanctis ecclesiis incumbit, praeterquam quod nec rerum ecclesiasticarum administratio, dum religiosissimi sacerdotes absunt, uti oportet procedit: idcirco sacris his litteris ad beatitudinem tuam uti nos oportere credidimus.
1 ¶ Per quas omnes piis simos sacerdotes in metropolibus singularum provinciarum sub te constitutos, edocere te iubemus, non decere eorum quemquam vel religiosissimorum episcoporum, qui in reliquis provinciarum civitatibus sub metropolitis constituti sunt, proprio motu absque sacra nostra speciali iussione sacrosanctam ecclesiam quae ab ipso gubernatur relinquere atque ad hanc felicem, urbem proficisci, qualiscumque res emergat, sed mittere huc unum vel duos ex pio clero sibi subiecto et nostrae pietati manifestare, qua de re supplicent, ut vel ipsi recta via vel tuae beatitudinis interventu ad nos pergant, atque ita iustum et compendiarium auxilium nostrum nancisci.
2 ¶ Quotienscumque enim quippiam eorum quae ad nos referuntur eiusmodi nobis visum fuerit, ut requirat praesentiam religiosissimorum episcoporum, tunc adesse eos iubebimus. absque tali vero sacra iussione nostra neminem, venire permittimus: sciente eo qui haec transgrediatur et observationem recte pieque a nobis in sacrosanctarum ecclesiarum honorem introductam praetermittat, se haud parvam indignationem experturum atque etiam remotum iri, si metropolita sit, a beatitudine tua, sin earum civitatum, quae sub metropolitis sunt, ab ipso metropolita. pecuniariam enim poenam contra eos, qui hanc sacram dispositionem nostram violant, statuere necessarium non credidimus, ne in ipsas sacrosanctas ecclesias damnum inde redundet, quarum res ab omni imminutione liberas manere nobis cordi est.

3 ¶ Haec igitur tua sanctitas in notitiam uniuscuiusque sub te constitutorum religiosissimorum metropolitanorum episcoporum ferre festinet responsaque a singulis missas sive per metropolitas sive per (ipsos) reliquarum provinciae civitatum religiosissimos episcopos, quae ea de re noverint, ad nostram pietatem referre.